Idem vii. 181. quæ ad metri et sensus ductum sic constituenda:

ἔπειτ' ἔρυξεν, ἐπιβαλοῦσ' ὁμοῦ
πίσους.

VIII. Καὶ σπυρίδα δὲ ὀψωνοδόκον, πλεκτὴν σχοίνου, ἐν Ἀμφιαράῳ Ἀριστοφάνης ἔφη.

Idem x. 92.

IX. κνέφαλον ἅμα
καὶ προσκεφάλαιον τῶν λινῶν.

Idem x. 40.

X. καὶ τοὺς μὲν ὄφεις, οὓς ἐπεπέμπεις,
ἐν κίστῃ που κατασήμηναι, καὶ παῦσαι φαρμακοπωλῶν.

Idem x. 180.

XI. Ταυτὶ τὰ κρέ' αὐτῷ παρὰ γυναικός του φέρω.

Suidas in του.

XII. Ὦ μιαρὲ, καὶ Φρυνώνδα, καὶ πονηρὲ σύ.
Suidas in Φρυνώνδας.
XIII. Νόσῳ βιασθεὶς, ἢ φίλων ἀχηνίᾳ.
Idem in ἀχηνία, ἀπορία.
XIV. Λαμπρεὺς ἔγωγε τῶν κάτω.
Harpocration in Λαμπρεῖς.
XV. ΡΟΠΤΡΟΝ—τὸν τῆς θύρας κρίκον λέγει, ὡς καὶ ἄλλοι, Ἀριστοφάνης Ἀμφιαράῳ.
Idem in ῥόπτρον.
XVI. Οἶδα μὲν, ἀρχαῖόν τ' ἰδὼν
οὐχὶ λέληθ' ἐμαυτόν.
Hephæstion in Enchiridio de metro choriambico.
XVII. ΗΝΤΕΒΟΛΗΣΕ, παρὰ Ἀριστοφάνει ἐν Ἀμφιαράῳ, δύο κλίσεις ὑπέστη.- Auctor Etymol. M. in ἀντιβολῶ p. 112.
XVIII. ΛΕΒΗΡΙΔΕΣ. ὑμενώδη ἀποσύρματα, ὅπερ ἐστὶ τὸ τῶν ὄφεων λεγόμενον γῆρας, ὡς καὶ Ἀριστοφάνης ἐν Ἀμφιαράῳ.
Erotianus Lexic. Hippocr.
XIX. Ἰασώ. παρὰ τὸ ἰᾶσθαι. φησὶ δὲ Ἀριστοφάνης, καὶ Ἀμφιαράου θυγατέρα εἶναι Ἰασώ. *Hesychius.* Comici versum ipsum, quo respexit Grammaticus, profert Scholiastes ad *Plutum* 701. emendatus et illustratus ab Hemsterhusio, cui extra dubium positum videtur, versum illum ex ipsa *Amphiarao* fabula decerptum esse. προσῆκε τῷ Ἀσκληπιῷ ἡ Ἰασὼ παρὰ τὴν ἴασιν ὠνομασμένη. ἀλλὰ καὶ θυγατέρα του Ἀμφιαράου αὐτὴν εἶπεν ἐν ἐκείνοις·
ἀλλ', ὦ θύγατερ, ἔλεξά τοι σοι πρευμενής.

---

## ΑΝΑΓΥΡΟΣ.

I. πρὸς θεῶν ἐρᾷς
τέττιγα φαγεῖν καὶ κερκώπην,
θηρευσαμένη καλάμῳ λεπτῷ;
Athen. p. 133. B.
II. οὐχ ἑψητῶν λοπάς ἐστιν.
Idem p. 301. A.
III. Εἰ μὴ παραμυθεῖ μ' ὀψαρίοις ἑκάστοτε.
Idem. p. 385. F. παραμυθεῖ est 2. pers. Attica pro παραμυθῇ. Apud Dipnosophistam legitur παραμύθημ'.
IV. πλὴν ἁλιύρου καὶ ῥοᾶς.
Idem p. 650. E. Vide infra in ΓΕΩΡΓΟΙ. xv.
V. Ὅτι δὲ τῶν Θετταλικῶν ἵππων τινὲς ἐκαλοῦντο βουκέφαλοι, δηλοῖ Ἀριστοφάνης ἐν Ἀναγύρῳ·
Μὴ κλαῖ'· ἐγώ σοι βουκέφαλον ὠνήσομαι.
καὶ πάλιν—
ψήχει ἠρέμα
τὸν βουκέφαλον καὶ κοππατίαν.
Auctor Etymol. M. in βουκέφαλος.
VI. Ὡς δ' ὀρθοπλὴξ πέφυκε, καὶ δυσγάργαλις.
Suidas in ὀρθοπλὴξ ἵππος, ὀρθὸς ἐπαιρόμενος καὶ πλήσσων.
VII. Καὶ ξυννένοφε, καὶ χειμέρια βροντᾷ μάλ' εὖ.
Idem in ξυννένοφεν.
VIII. Ὅρμου παρόντος, τὴν ἀτραπὸν κατεῤῥύην.
Idem in ὁδοῦ παρούσης.
IX. Ἀλλὰ πάντας χρὴ παραλοῦσθαι, καὶ τοὺς σπόγγους ἐᾷν.
Idem in παραλοῦμαι.
Ad qnem locum ita Kusterus: *Est versus trochaïcus, sed cui deest syllaba.* At fallitur. Inserta enim syllaba brevi post χρὴ, quod procul dubio volebat ille, in quinta sede nihilominus esset spondæus, quod metri lex non patitur. Rescribendum itaque:
Ἀλλὰ παραλοῦσθαί τι πάντας, χρή τι τοὺς σπόγγους ἐᾷν.
Huc forte respicit Eustathius ad Odyss. p. 1604. l. 18.

X. ΑΜΦΙΑΝΑΚΤΙΖΕΙΝ—ἐν Ἀναγύρῳ.
Suidas in voce.

XI. Ἐκ δὲ τῆς ἐμῆς χλανίδος τρεῖς ἀπληγίδας ποιῶν.
Idem in ἀπλήγιος. Observa mediam in χλανίδος semper corripi. Itaque, ut constet metrum, legendum:

χλανίδος δὲ ποιῶν ἐκ τῆς ἐμῆς
ἀπληγίδας τρεῖς.

Lenior adhibenda erat medicina:

ἐκ δὲ τῆς ἐμῆς γε χλανίδος τρεῖς ἀπληγίδας ποιῶν.

Tetrameter est trochaicus omnibus numeris absolutus.

XII. ΑΡΓΕΙΟΙ ΦΩΡΕΣ. ἐπὶ τῶν προδήλως πονηρῶν. οἱ γὰρ Ἀργεῖοι ἐπὶ κλοπῇ κωμῳδοῦνται. Ἀριστοφάνης Ἀναγύρῳ.
Suidas in voce.

XIII. Καὶ μὴν χθὲς γὰρ ἦν Πέρδιξ χωλός.
Schol. ad *Aves* 1292. Sic ultimo pede mancum senarium habebis:

Καὶ μὴν γὰρ ἐχθὲς χωλὸς ἦν Πέρδιξ—

XIV. ΑΝΑΧΥΡΩΤΟΝ δὲ τὸν πηλὸν Ἀριστοφάνης ἐν Ἀναγύρῳ λέγει.
Polux vii. 164.

XV. Ἐν τῷ στόματι τριημιωβόλιον ἔχων.
Idem ix. 64.

XVI. Τοῦτ' αὐτὸ πράττω διωβόλῳ. καὶ σύμβολον
ὑπὸ τῷ πιναλίνῳ· μῶν τις αὔτ' ἀνείλετο;

Idem x. 72. Ad quem locum operæ pretium erit legisse Hemsterhusii notas.
Exstant hi versus apud Pollucem ix. 72. Corrige typothetæ errorem, aliumque librariorum. Oportet enim διωβόλου, genitivus pretii. *Id ipsum facio dioboli pretio.* Antipater in Epigr. vi.

δραχμῆς Εὐρώπην τὴν Ἀτθίδα, μήτε φοβηθεὶς
μηδένα, μήτ' ἄλλως ἀντιλέγουσαν ἔχε.

XVII. Καὶ γὰρ τὸν ΠΝΙΓΕΑ ἐπὶ ἵππου Ἀριστοφάνης ἐν Ἀναγύρῳ λέγει.
Idem x. 54.

XVIII. Τὴν δὲ ΨΗΚΤΡΑΝ Ἀριστοφάνης ἐν Ἀναγύρῳ εἴρηκεν.
Idem x. 55.

XIX. ΣΤΟΜΙΑ δὲ ΠΡΙΟΝΩΤΑ ἔφη ἐν Ἀναγύρῳ Ἀριστοφάνης.
Idem x. 56.

XX. Καὶ ΣΚΑΦΗΝ εἶπεν ἐν τῷ Ἀναγύρῳ Ἀριστοφάνης.
Idem x. 76. additis Comici verbis, sed ita depravatis, ut nihil sani ex iis elicere queamus. Vide Hemsterhusii notam.

XXI. Τὸ ὑπόδημα τοῦ ὄλμου, ΥΦΟΛΜΙΟΝ, ὡς Ἀριστοφάνης ἐν Ἀναγύρῳ λέγει.
Idem x. 114.

---

## ΑΥΤΟΛΥΚΟΣ.

Ἀριστοφάνης δὲ ὁ Κωμικὸς ἐν Αὐτολύκῳ φησὶν ἐπὶ καινοτέρας ἰδίας· Ἀτίζειν ὁ μοχθηρὸς ἔτριβες πόσῳ πολλῶν λοπάδων τοὺς ἄμβωνας περιλείξας. Τουτέστι τὰ περὶ τοὺς ἄμβωνας χείλη.

Erotianus in Lex. Hippocr. v. ἄμβην. Quorum partem etiam profert Galenus Comment. in I. Hippocr. περὶ ἄρθρων. p. 584.

Τοιαύτη δέ ἐστιν ἡ ὀφρὺς, οἵη κατὰ τῶν λοπάδων πέρας τὸ ἄνω γίνεται πρὸς τὴν ἐντὸς ἐσχαμμένην κοιλότητα. καί τις τῶν Κωμικῶν ἐποίησεν ἐπισκώπτων, τινὰ δὲ τῶν λοπάδων τοὺς ἄμβωνας περιέχειν.

Lacera hujus fragmenti verba non facile in numeros redigas. Probabile est a Grammatico scribi debuisse: ὦ μοχθηρὲ σὺ, ἔτριβες; πόσῳ μᾶλλον τῶν λοπάδων τοὺς ἄμβωνας περιλείξας;

## ΒΑΒΥΛΩΝΙΟΙ.

I. Ἔστι δὲ ὑποκορισμὸς, ὃς ἔλαττον ποιεῖ καὶ τὸ κακὸν, καὶ τὸ ἀγαθόν· ὥσπερ καὶ ὁ Ἀριστοφάνης σκώπτει ἐν τοῖς Βαβυλωνίοις, ἀντὶ μὲν χρυσίου, χρυσιδάριον· ἀντὶ δ᾽ ἱματίου, ἱματιδάριον· ἀντὶ δὲ λοιδορίας, λοιδορημάτιον· καὶ νοσημάτιον.

Aristoteles de Rhetor. lib. iii. cap. 2. extremo.

II. Ἀνέχασκον εἷς ἕκαστος ἐμφερέστατα
ὀπτωμέναις κόγχαισιν ἐπὶ τῶν ἀνθράκων.

Atheu. p. 86. extrema:

III. Κᾂν τοῖς Βαβυλωνίοις οὖν τοῖς Ἀριστοφάνους ἀκουσόμεθα ποτήριον ὀξύβαφον, ὅταν ὁ Διόνυσος λέγῃ περὶ τῶν Ἀθήνησι δημαγωγῶν, ὡς αὐτὸν ᾔτουν ἐπὶ τὴν δίκην ἀπελθόντα ὀξύβαφα δύο. οὐ γὰρ ἄλλο τι ἡγητέον εἶναι, ἢ ὅτι ἐκπώματα ᾔτουν.

Idem p. 494. D.

IV. ΚΟΤΥΛΟΣ. Ἀριστοφάνης ἐν Βαβυλωνίοις.

Idem p. 478. C. Vide infra xi.

V. Οἱ δῶρ᾽ αἰτοῦντες ἀρχὴν πολέμου πορίσειεν μετὰ Πεισάνδρου.

Schol. ad *Aves* 1555. Decerpta hæc sunt e tetrametris anapæsticis, et sic ordinanda:

αἰτοῦντες δῶρ᾽, ἀρχὴν πολέμου πορίσειεν
μετὰ Πεισάνδρου.

Eodem respexit Schol. ad *Lysistr.* 491.

VI. Ἵστασθ᾽ ἐφεξῆς πάντες ἐπὶ τρεῖς ἀσπίδας.

Schol. ad *Lysistr.* 282. et Suidas in ἀσπιδηφόρος.

VII. Μίσκον ἔρειδε πρὸς τὸ σιμὸν καὶ πλατύ.

Idem ibid. 288. et Suidas in σιμός.

VIII. Τοὺς δὲ ἀεὶ ῥιγοῦντας, οἱ παλαιοὶ ῥιγοσιβίους ἔλεγον, οὓς οἱ νῦν δυσρίγους. Ἀριστοφάνης δὲ ἐν Βαβυλωνίοις ΔΥΣΡΙΓΟΣ εἴρηκε.

Pollux iv. 186.

IX. ΝΑΥΛΟΧΙΟΝ. Ἀριστοφάνης ἐν Βαβυλωνίοις.

Idem x. 28.

X. Εἰς ἄχυρα καὶ χνοῦν.

Idem x. 38.

XI. δεῖ διακοσίων δραχμῶν.—
πόθεν οὖν γίνοιτ᾽ ἄν;—τὸν κότυλον τοῦτον φέρε.

Idem x. 85. Mallem legi γίνοιτ᾽ ἄν.

XII. ΠΟΔΑ ΒΑΛΑΝΤΙΟΥ. Ἀριστοφάνης ἐν Βαβυλωνίοις εἴρηκεν.

Idem x. 152.

XIII. Πόσους ἔχει στρωτῆρας ἀνδρὼν οὑτοσί;
καὶ αὖ πάλιν·
ὡς οὐ καλυμματίοις τὸν οἶκον ἤρεφε.

Idem x. 173. Ad priorem versum respicit Harpocr. in στρωτήρ.

XIV. Ῥοθιάζειν δὲ, τὸ ἐρέσσειν εὐτόνως. Ἀριστοφάνης Βαβυλωνίοις.
κατάγου ῥοθιάζων.
καὶ πάλιν·
ναῦς ὅταν ἐκ πιτύλων ῥοθιάζῃ σώφρονι κόσμῳ.

Suidas in ῥοθιάζουσιν.

XV. Σαμίων ὁ δῆμός ἐστιν, ὡς πολυγράμματος.

Hesych. in Σαμίων, ubi vide interpretem.

Huic fabulæ nomen fuit a servis Babyloniis molitoribus, qui inducebantur ora notis compuncti. Vide Sam. Petiti Miscellan. i. 3. Hos quum Bacchus, cujus præcipuæ erant partes, videret, vel quivis alius, exclamabat: *Samiorumne video populum? quam multis notis compuncti sunt!* salse adludens ad Periclis crudelitatem erga Samios, quos sex ante annis prælio vicerat, quorumque captivos inustis notis signaverat. Rem narrat Plutarchus in Periclis vita, p. 367. ubi versum hunc profert et illustrat, quem ridicule vertit interpres: *Samii periti literis quam plurimum.*

XVI. ΕΣ ΤΟΝ ΛΙΜΕΝΑ. Ἀριστοφάνης ἐν Βαβυλωνίοις. παρὰ τὴν παροιμίαν, Ἀττικὸς ἐς λιμένα· οἱ γὰρ Ἀθηναῖοι συντόνως ἤλαυνον καταπλέοντες, διὰ τὸ θεωρεῖσθαι ὑπὸ τῶν ἐκ τῆς γῆς.

Hesych. in voce.

XVII. ΙΣΤΡΙΑΝΑ. Ἀριστοφάνης ἐν Βαβυλωνίοις τὰ μέτωπα τῶν οἰκετῶν φησὶν, ἐπεὶ ἐστιγμένοι εἰσὶν—

Idem in voce, apod quem reliqua vide.

XVIII. Εὖ γ' ἐξεκολύμβησεν ἐπιβάτης, ὡς ἐξοίσων ἐπίγυον.

Harpocr. in ἐπιβάτης. Scripturam per υ confirmant lexicographi omnes in ἐπίγυον. Grammaticus qui hanc χρῆσιν profert, quædam omisit. Apud Comicum forte sic dispositæ erant voces:

Εὖ γ' ἐξεκολύμβησεν ἐπιβάτης—
ὡς ἐπίγυον ἐξοίσων.

XIX. Ἀνήρ τις ἡμῖν ἐστιν ἐγκινούμενος.

Auctor Etymol. M. in ἐγκινούμενος.

XX. Ἡ βοϊδαρίων τις ἀπίκτεινε ζεῦγος, χολίκων ἐπιθυμῶν.

Ammonius in χολάδες.

XXI. ΑΝΘ' ΕΡΜΙΩΝΟΣ. εἴρηται ἡ παροιμία ἐπὶ τῶν σωζόντων τοὺς ἱκέτας. μέμνηται ταύτης Ἀριστοφάνης ἐν Βαβυλωνίοις.

Zenobius Proverb. ii. 22.

XXII. Ἐννεύει με φεύγειν οἴκαδε. Nos quoque similiter: *annuit me fugere domum.*

Priscianus lib. xviii. fol. 231. verso Editionis Aldinæ, anni 1527. in 8.

XXIII. Καὶ λακωνίζω, καὶ λακωνιστής. λέγεται καὶ ΛΑΚΕΔΑΙΜΟΝΙΑΖΩ, ὡς Ἀριστοφάνης Βαβυλωνίοις.

Stephanus Bys. in Λακεδαίμων.

---

## ΒΟΗΘΟΙ.

I. Præpositiones est quum abundant, est quum deficiunt; est quum aliæ pro aliis ponuntur, tam apud Græcos, quam apud nos. Abundant—Aristophanes, Βοηθοῖς.

Εὖ γὰρ εἰσπράττειν σε βούλομαι πόσα ἔτη ὅπως μετ' ἐμοῦ ξυνῇς.

Priscianus lib. xvii. fol. 202. verso Editionis Aldinæ. At in Editione Heliæ Putschii legitur: εὖ γὰρ εὖ πράττειν σε βούλομαι. πῶς λέγεις; ὅπως μετ' ἐμοῦ ξυνίσῃ. quæ sic melius digeri possunt:

Εὖ γάρ σε πράττειν βούλομαι.—τόδε πῶς λέγεις;—
ὅπως, μετ' ἐμοῦ ξυνίσει.

Abundat præpositio *μετὰ*, quom simplicius dici possit ἐμοὶ ξυνίσῃ.

Laudatur a veteri Scholiasta ad Acharn. 3. Aristomenis Fabula Βοηθοί, unde mutilus versus profertur, quem integrom citat Macrobius Saturn. v. 40. Aristomeni itidem tributum, sed in dramatis titulo mendose exscriptus: *Aristomenes ἐν Μύθοις,*

ἔνδον γὰρ ἡμῖν ἐστὶν ἀνδρῶν γάργαρα.

Scripseritne Comicus uterque fabulam eodem titulo? non opinor. E solo Prisciano tribuitur Aristophani, quod in librariorum errorem conferendum est, ad literarum compendia non satis advertentium, unde sæpe contigit, ut nomina illa Ἀριστοφάνης Ἀριστομένης confunderentur. Vide Pollucis interpretem ad vii. 211. Ex eodem errore tributa fuerat Comico nostro alia fabula ΓΟΗΤΕΣ, quam Aristomenis esse constat. Prisciano ipsi p. 1202. citatur *Aristomenes* Βοηθοῖς.

αὐτοὶ γὰρ ἤδη τοὺς Πρυτάνεις προσήλθομεν.

Eximatur itaque fabula hæc ΒΟΗΘΟΙ e catalogo dramatum Aristophanis.

II. Ὀτιὴ λέγεις με, pro εἰς ἐμέ. Aristophanes Βοηθοῖς·

Μισῶ σε ὀτιὴ λέγεις με τὰ αἰσχρά.

Huic simile est illud Terentii in *Andria*: Quid me fiat? pro *in me fiat*. Idem lib. xviii. p. 1194. Edit. Putschii. Quærenti διὰ τί με μισεῖς; respondebat apud Comicum aliquis:

Ὀτιὴ λέγεις με ταἰσχρά.

## ΓΕΩΡΓΟΙ.

I. Ἐθέλω γεωργεῖν.—εἶτα τίς σε κωλύει;—
ὑμεῖς· ἐπεὶ δίδωμι χιλίας δραχμὰς,
ἐάν με τῶν ἀρχῶν ἀφῆτε.—δεχόμεθα.
δισχίλιαι γάρ εἰσι σὺν ταῖς Νικίου.

Plutarchus in Nicia p. 215. Edit. Londinensis.

II. Εἰρήνη βαθύπλουτε, καὶ ζευγάριον βοεικὸν,
εἰ γὰρ ἐμοὶ παυσαμένῳ τοῦ πολέμου γένοιτο
σκάψαι τ', ἀποκλάσαι τε, καὶ λουσαμένῳ διελκύσαι
τῆς τρυγὸς, ἄρτον λιπαρὸν, καὶ ῥάφανον φέροντι.

Stobæus in Floril. tit. de *Pace*, edit. Grotii p. 209. Diversam a vulgata lectionem in 3. versu amplexus sum, quam exhibet Ms. codex.

III. Ὅτου δοκεῖ σοι δεῖν μάλιστα τῇ πόλει;—
τὸν μολγὸν ἐμοῦ λέγοντος οὐκ ἀκήκοας;

Schol. ad *Equites* 959. Ita hos senarios emendavi, qui vulgo perquam depravati leguntur.

IV. συκᾶς φυτεύω, πάντα πλὴν Λακωνικῆς.
τοῦτο γὰρ τὸ σῦκον ἐχθρόν ἐστι καὶ τυραννικόν.
οὐ γὰρ ἦν ἂν μικρὸν, εἰ μὴ μισόδημον ἦν σφόδρα.

Athen. p. 75. A.

V. Εἶτ' ἄρτον ὀπτῶν τυγχάνει τις ὀβελίαν.

Idem p. 111. B. ubi male ἀρτῶν ὀβελιᾶν. Emendationem nostram confirmat scriptus cod. e Bibl. Regia.

VI. Ὥσπερ κυλικείου τοὐθόνιον προπέπταται.

Idem p. 460. E.

VII. Γλιχόμενος, καρτερῶν, ἢ ἐπιθυμῶν. Ἀριστοφάνης ἐν Γεωργοῖς·
Τί δῆτα τούτων τῶν κακῶν, ὦ παῖ, γλίχει;

Auctor Etymol. M. p. 234. l. 35.

VIII. Ὦ πόλι φίλη Κέκροπος, αὐτοφυὲς Ἀττική,
χαῖρε λιπαρὸν δάπεδον, οὖθαρ ἀγαθῆς χθονός.

Hephæstion in Enchiridio, de metro pæonico; ubi duobus his versibus tertius subjungitur, qui non est ex *Agricolis*, sed *Vesparum* 1273.

IX. Ἐν ἀγορᾷ δ' αὖ πλάτανον εὖ διαφυτεύσομεν.

Idem ibidem.

X. Αὐτῷ μελητέον, ἀλλ' ἐπὶ τὸν οἶκον.

Zenobius in Proverb. ii. 27.

XI. ΚΩΔΙΑ. τὴν τῆς μήκωνος κεφαλὴν οὕτω καλοῦσιν. Ἀριστοφάνης Γεωργοῖς·
Ἀγαθήν γε κωδίαν.

Harpocr. in voce.

XII. ΠΟΡΝΕΥΤΡΙΑΝ δὲ ἐν τοῖς Γεωργοῖς Ἀριστοφάνης τὴν πόρνην εἶπε.

Pollux vii. 201.

XIII. Ἐξ ἄστεως νῦν εἰς ἀγρὸν χωρῶμεν, ὡς πάλαι δε' ἡμᾶς ἐκεῖ τῷ χαλκῷ ἐλλουσάμενον κολάζειν.

Idem ix. 69. Misere corruptum et mutilum hoc fragmentum, quod parum feliciter tentavit Kühnius. Initium sic digerendum erat:

ἐξ ἄστεως
νῦν εἰς ἀγρὸν χωρῶμεν, ὡς ἐκεῖ πάλαι—

XIV. ὁ ΤΡΑΠΕΖΟΦΟΡΟΣ, ἐπὶ τοῦ τὴν τράπεζαν φέροντος, ᾗ ἐπῆσαν τοῖς ἄρχουσιν αἱ μυῤῥίναι.

Idem x. 69.

XV. Ἀντιφῶν δ' ἐν τῷ περὶ γεωργικῶν, φωκίδας φησὶν εἶδος ἀπίων εἶναι, ῥοῶν δὲ σκληροκόκκων. τῶν γὰρ ἀπυρήνων Ἀριστοφάνης ἐν Γεωργοῖς μνημονεύει, καὶ ἐν Ἀναγύρῳ·
πλὴν ἀλεύρου καὶ ῥοᾶς.

Athen. p. 650. E.

XVI. ΕΛΑΙΖΕΙΝ. τὰς ἐλαίας ἐργάζεσθαι. Γεωργοῖς Ἀριστοφάνης.

Auctor Etymol. M. p. 326. l. 20.

XVII. Ἀριστοφάνης τὸ μεταξὺ τῶν φυτῶν ΜΕΤΟΡΧΙΟΝ ἐκάλεσεν ἐν τοῖς Γεωργοῖς.

Idem in ὄρχατος. Quæ repetit Schol. ad Theocr. i. 48. nisi quod μετόρχμιον male habet. Vox μετόρχιον occurrit etiam apud Comicum *Pace* 568.

XVIII. Εἴ γε Κιλικίοις αἷμα ἐξολοίμην, φαίη λέγων.
Priscianus lib. xviii. p. 1212. Edit. Putschii.

XIX. ΣΗΡΑΓΓΙΟΝ. χωρίον τι τοῦ Πειραιέως οὕτως ἐκαλεῖτο. μνημονεύει δ' αὐτοῦ καὶ Ἀριστοφάνης ἐν Γεωργοῖς.

---

## ΓΗΡΑΣ.

I. ΚΡΙΒΑΝΙΤΗΣ. τούτου μνημονεύει Ἀριστοφάνης ἐν Γήρᾳ. ποιεῖ δὲ λέγουσαν ἀρτόπωλιν, διηρπασμένων αὐτῆς τῶν ἄρτων ὑπὸ τῶν τὸ γῆρας ἀποβαλόντων.

Τουτὶ τί ἦν τὸ πρᾶγμα;—θερμοὺς, ὦ τέκνον.—
ἀλλ' ἢ παραφρονεῖς.—κριβανίτας δὲ πάνυ
λευκούς.

Athen. p. 109. F.

De hujus fabulæ argumento videndus Casaubonus ad Athenæum p. 209. Primum fragmentum male constitutum esse tam metrum, quam sententia arguit. Interloquuntur mulier panes vendens ἀρτόπωλις, et recoctus senex. Illa, cujus mercimonium diripiebatur, quum injuriam expostularet, diceretque panes sibi periisse illius generis, quos θερμοὺς appellabant, qui in secundis mensis apponebantur, senex respondebat: *Num vero deliras? in furno coctos dic, eosque non admodum candidos.* Secundus versus totus est senis: male eum duabus personis diviseram. Sic legendum est:

Γ. τουτὶ τί ἦν τὸ πρᾶγμα; Α. θερμοὺς, ὦ τέκνον.
Γ. ἀλλ' ἢ παραφρονεῖς; κριβανίτας γ', οὐ πάνυ
λευκούς.

II. Ὦ πρεσβῦτα, πότερα φιλεῖς τὰς δρυπεπεῖς
ἑταίρας, ἢ τὰς ὑποπαρθένους ἁλμάδας,
ὡς ἐλάας στιφράς;

Idem p. 133. A. Forte scribendum τὰς δρυπέπεις. Vide Pierson ad Mœrin p. 121.

III. Ταῖς πολιόχρωσι βεμβράσι τεθραμμένη.
Idem p. 287. D. Piscis nomen scribitur etiam per μ, ut in *Vespis* 493.

IV. Εἰ παιδαρίοις ἀκολουθεῖν δεῖ σφαῖραν καὶ στλεγγίδ' ἔχοντα.
Schol. ad *Equites* 577. et Suidas in στλεγγίς.

V. Ὀφθαλμιάσας πέρυσιν, εἶτ' ἔσχον κακῶς,
ἔπειθ' ὑπαλειφόμενος παρ' ἰατρῷ.
Pollux iv. 180.

VI. Ὀξωτὰ, σιλφιωτὰ, βόλβος, τεύτλιον,
περίκομμα, θρῖον, ἐγκέφαλος, ὀρίγανον.
Idem vi. 69. Eo respexit Diogen. Laërt. iv. 18. addito insuper versu qui ex eadem fabula depromptus esse videtur:
καταπυγοσύνη ταῦτά 'στι πρὸς κρέας μέγα.

VII. Ἐπὶ τοῦ περιδρόμου στᾶσα τῆς ξυνοικίας.
Idem vii. 125. et ix. 39.

VIII. ΚΛΗΡΩΤΗΡΙΟΝ. εἰ γὰρ καὶ ἐπὶ τοῦ τόπου ἔοικεν εἰρῆσθαι τοὔνομα ἐν τῷ Γήρᾳ Ἀριστοφάνους, ἀλλὰ καὶ ἐπὶ τοῦ ἀγγείου ἂν ἐναρμόσειεν.
Idem x. 61.

IX. ἐφ' ὑδρίαν δανείζειν πεντίχουν, ἢ μείζονα.
Idem x. 74. Tetrameter trochaicus, cui deest primus pes.

X. κοπίδι τῶν μαγειρικῶν.
Idem x. 104.

XI. πτωχικοῦ βακτηρίου.
Idem x. 173.

XII. Ἀριστοφάνης ἐν τῷ Γήρᾳ, γυναῖκα ποιήσας ἐπὶ ζεύγους ὄνων ὀχουμένην, παράγει τινὰ ἐρῶντα αὐτῆς, ἣ καὶ ἐρεθίζουσα φησὶ πρὸς αὐτόν.
ἀποπλιστέον
ἐπὶ νυμφίον ἐστὶν, ᾧ γαμοῦμαι τήμερον.
Schol. Nicandri ad Theriac. 295. emendatus a Jo. Toupio ad Suidam iii. 62.

A veteri scriptura ἀπίπλως τιὸν, quam minime recedit istud ἀποπλευστέον sagaciter excogitatum. Sed nescio an bene hoc verbo utatur muliercula curru vecta. Mallem sane ἀποστευστέον, vel ἐμοὶ στευστέον.

Jo. Toupii, viri eruditissimi et admirandi acuminis, emendationem in controversiam non vocassem, si ipsum Nicandri Scholiastem consuluissem; sed tum non erat ad manum. Ad Poëtæ versum in Theriacis 295. in serpentis hæmorrhoi descriptione,

μέσσου δ' ἐκ σώπου βαιὸν πλόον αἰὲν ὀκέλλει.

Scholiastes hæc adnotat: βαιὸν δὲ πλόον, νῦν τὴν ὁδὸν τὴν πεζὴν, τὴν πορείαν. οὕτω γὰρ καὶ Ἀντίμαχος εἶπε,

τοῖσι δ' ἀν' ὑλήεντα διὰ πλόον ἐρχομένοισιν.

ὡς δὲ καὶ Ἀριστοφάνης ἐν τῷ Γήρᾳ, γυναῖκα ποιήσας ἐπὶ ζεύγους ὄνων ὀχουμένην, παράγει τινὰ ἐρῶντα αὐτῆς, ἣ καὶ ἐρεθίζουσα φησὶ πρὸς αὐτόν.

ἀποπλευστέον

ἐπὶ νυμφίον ἐστὶν, ᾧ γαμοῦμαι τήμερον.

Vides Aristophanis χρῆσιν idcirco adductam, ut ostenderetur πλεῖν *navigare*, πλόον *navigationem*, de pedestri etiam itinere a poëtis adhiberi. Itaque de veritate hujus lectionis non ambigendum est.

XIII. Τίς ἂν φράσειε ποῦ 'στὶ τὸ Διονύσιον,
ὅπου τὰ μορμολυκεῖα προσκρεμάννυται;

Phrynichus in Διονύσιον. Eo respexit etiam auctor Etymol. M. in μορμολυκεῖον.

XIV. Attici ὀλίγας ἡμέρας pro ἐν ὀλίγαις ἡμέραις. Aristophanes Γήρᾳ. Σὺ δ' οὐχ ἡγῇ μ' οὖν δὴ ὀλίγας ἡμέρας.
Priscianus lib. xviii. p. 1191. Edit. Putschii.

XV. Ὅτι δὲ τὸ ΣΚΑΦΙΟΝ εἶδος κουρᾶς, καὶ Ἀριστοφάνης ἐν Γήρᾳ.
Harpocr. in σκαφίον.

XVI. ΤΗΤΕΣ, ἀντὶ τοῦ, τούτῳ τῷ ἔτει—Ἀριστοφάνης Γήρᾳ.
Idem in voce. Occurrit hoc adverbium *Nub.* 624. *Acharn.* 15. *Vesp.* 400.

XVII. Λορδοῦ κιγκλοβάταν ῥυθμόν.
Ælianus H. A. ix. 9.

---

## ΓΗΡΥΤΑΔΗΣ.

I. ἀκροκώλια
ἄρτοι, χάραβοι.
Athenæus p. 95. F.

II. Θεράπαινι, καὶ χόρταζε τῶν μονῳδιῶν.
Idem p. 99. F

III. Ἥκω Θεαρίωνος ἀρτοπώλιον
λιπὼν, ἵν' ἐστὶ κριβάνων ἑδώλια.
Idem p. 112. F. emendatus a Jo. Toup ad Suidam i. 6. et iv. 132. Citantur etiam hi versus ex *Æolosicone*.

IV. Πτισάνην διδάσκεις αὐτὸν ἕψειν ἢ φακῆν;
Idem p. 158. C.

V. Ψωμοκόλακος δὲ μνημονεύει Ἀριστοφάνης ἐν Γηρυτάδῃ, οὕτως·
Ψίθυρός τε καλοῦ, καὶ κόλαξ, καὶ Σαννυρίων.
ποῖ φθείρεσθ' ἐπίτριπτοι ψωμοκόλακες;
Idem p. 261. F.

VI. Ἆρ' ἔνδον ἀνδρῶν κεστρέων ἀποικία;
ὡς μὲν γάρ εἰσι νήστιδες γιγνώσκεται.
Idem p. 307. F.

VII. Ἐν ταῖσι συνδείπνοις ἐπαινῶν Αἰσχύλον.
Idem p. 365. B.

VIII. Ἦν δὲ τὸ πρᾶγμ' ἑορτὴ, περιέφερε δ' ἐν κύκλῳ λεπαστὴν ἡμῖν ταχὺ προσφέρων παῖς· ἐνέχει τε σφόδρα κυανοειδῆ.— Τὸ βάθος παρίστησιν ὁ Κωμικὸς τοῦ ποτηρίου.
Idem p. 487. B. et Pollux x. 75. Nemini facile visum fuit Comici verba in numeros redigere.

IX. Ἀριστοφάνης δὲ ἐν Γηρυτάδῃ λεπτοὺς τούσδε καταλέγει, οὓς καὶ πρέσβεις ὑπὸ τῶν ποιητῶν φησὶν εἰς Ἅδου πέμπεσθαι πρὸς τοὺς ἐκεῖ ποιητὰς, λέγων οὑτωσί·

Καὶ τίς νεκρῶν κευθμῶνα καὶ σκότου πύλας
ἔτλη κατελθεῖν;—ἕνα γ' ἀφ' ἑκάστης τῆς τέχνης
εἱλόμεθα κοινῇ γενομένης ἐκκλησίας,
οὐ σώματ' ὄντας, ἀϊδοφοίτας, καὶ θαμὰ
ἐκεῖσε φιλοχωροῦντας.—εἰσὶ γάρ τινες
ἄνδρες παρ' ὑμῖν ἀϊδοφοῖται;—νὴ Δία·
μάλιστα δ' οἵπερ Θρᾳκοφοῖται. πάντ' ἔχεις.—
καὶ τίνες ἂν εἶεν;—πρῶτα μὲν Σαννυρίων
ἀπὸ τῶν τρυγῳδῶν· ἀπὸ δὲ τῶν τραγικῶν χορῶν,
Μέλιτος· ἀπὸ δὲ τῶν κυκλίων, Κινησίας.—

εἶθ' ἑξῆς φησίν·

ὡς σφόδρ' ἐπὶ λεπτῶν ἐλπίδων ὀχεῖσθ' ἄρα.
τούτους γὰρ, ἢν πολλὸς ξυνέλθῃ, ξυλλαβὼν
ὁ τῆς διαῤῥοίας ποταμὸς ἐξοιχήσεται.

Athen. p. 551. B. confer Jo. Toup ad Suidam iii. 288. et Bentleium in Phalarid. Dissertat. de Origine Tragœdiæ p. 167. versionis latinæ. In antepenult. v. male vulgo legitur ὀχεῖσθ' ἄρα. Tempus præsens requirit sententia, ut *Equit.* 1244.

λεπτή τις ἐλπίς ἐσθ', ἐφ' ἧς ὀχούμεθα.

X. ΚΑΤΑΠΛΑΣΜΑ. ἐν Γηρυτάδῃ.
Poll. iv. 181. περὶ ἰατρικῶν ἐργαλείων.

XI. Τότε μέν σου κατεκοττάβιζον, νυνὶ δὲ κατεμοῦσι· τάχα δ' εὖ οἶδα ὅτι καὶ καταχέσονται.
Idem vi. 111.

XII. ΣΥΝΤΕΧΝΟΙ. Ἀριστοφάνης ἐν Γηρυτάδῃ.
Idem vii. 7.

XIII. ΟΙΚΟΔΟΜΟΣ. Ἀριστοφάνης γὰρ ἐν Γηρυτάδῃ εἴρηκε τοὺς οἰκοδόμους.
Idem vii. 117.

XIV. Τὰ δὲ ΚΑΡΠΕΙΑ ἐν τῷ Γηρυτάδῃ Ἀριστοφάνης εἶπε.
Idem vii. 149.

XV. Πόλος τοῦτ' ἐστίν. ἐκασταπόστην ἥλιος
τέτραπται;

Idem ix. 46.

Misere depravatum est hoc fragmentum. ἐκασταπόστην vox est nihili et plane barbara. Si præter integritatem metri nihil esset quod desideraretur, proclive erat pro τοῦτ' reponere τόδ'. Videndus Salmasius in Plin. Exercit. p. 446. ubi emendat:

πόλος
τοῦτ' ἐστὶν ἑκαστάτω δὲ, ποστὴν ἥλιος
τέτραπται;

XVI. Τὴν μάλθαν ἐκ τῶν γραμματείων ἤσθιον.
Idem x. 59.

XVII. Ἄλλος δ' εἰσέφερε πλεκτῷ κανισκίῳ ἄρτων περίλοιπα θρύμματα.
Idem vii. 176. et x. 91. Kühnius ita versus distinxit:

Ἄλλος δὲ πλεκτῷ εἰσέφερε κανισκίῳ
ἄρτων περίλοιπα θρύμματα.

Hiatus in primo versu Aristophanem minime redolet. Grammatici Poëtarum χρήσεις excerpentes, brevitatis causa ea omittebant, quibus non confirmabatur id quod adstruere volebant. Inde fit ut plurima Poëtarum fragmenta a Grammaticis servata numeris suis restitui nullo modo possint.

XVIII. ΑΣΚΟΘΥΛΑΚΟΣ. ἐν Ἀριστοφάνους Γηρυτάδῃ.
Idem x. 160.

XIX. Ἐν δὲ τῷ Γηρυτάδῃ ὁ Ἀριστοφάνης λέγει ΦΟΡΜῼ ΣΧΟΙΝΙΝῼ.
Idem x. 169.

XX. Ἀριστοφάνης ἐν Γηρυτάδῃ ΠΕΡΙΘΕΤΟΝ.
Idem x. 170. Confer *Lysistr.* 238. ubi κεφαλὴ περίθετος.

XXI. Καὶ πῶς ἐγὼ Σθενέλου φάγοιμ' ἂν ῥήματα,
εἰς ὄξος ἐμβαπτόμενος, ἢ ξηροὺς ἅλας;

Schol. ad *Vespas* 1303.

XXII. ΓΑΡΓΑΛΙΣΜΟΥ. *γάργαλος, καὶ γαργάλη λέγεται ἐρεθισμὸς, ἀπὸ τῶν πασχητιουσῶν γυναικῶν εἰλημμένης τῆς λέξεως· ὡς καὶ Ἀριστοφάνης Γηρυτάδῃ.*
Erotianus in voce.

XXIII. ΕΚΛΑΠΗΣΕΤΑΙ. *ἀντὶ τοῦ ἐκγλυφήσεται, καὶ ἐκγεννηθήσεται· ὡς καὶ Ἀριστοφάνης ἐν Γηρυτάδῃ φησί· Φήμαις οὖν ἐγὼ βροτῶν ἅπαντας ἐκλαπῆναι.—Ἅπαξ εἴρηται, καὶ παρ' ἡμῶν ἐξήγηται μόνων.*
Idem in voce. Comici verba trochaicum tetrametrum effecisse videntur, cujus in fine vox ipsa erat a Grammatico proposita. Vide an tibi satisfaciat hæc conjectura:
*Φημὶ γοῦν ἐγώ· βροτοὺς ἅπαντας ἐκλαπήσεται.*
Futurum medium, cui passivam significationem tribuisse videtur Grammaticus, ego active accipio.

XXIV. *Χαριεντίζεις, καὶ καταπαίζεις ἡμῶν, καὶ βωμολοχεύει.*
Harpocr. in *βωμολοχεύεσθαι*, et auctor Etymol. M. in *χαριεντιζόμενοι.*

XXV. ΕΡΜΑΣ, *ὕφαλος πέτρα. ἐν Γηρυτάδῃ Ἀριστοφάνους.*
Harpocr. in voce.

XXVI. *ἦσαν εὐθὺ τοῦ Διονυσίου.—ἀντὶ τοῦ ἐπορεύοντο.*
Auctor Etymol. M. in *ἦσαν.* p. 420.

XXVII. ΑΥΤΟΙ ΘΥΟΜΕΝ. *ἀντὶ τοῦ, αὐτοὶ πίνομεν.*
Hesych. in voce.

XXVIII. ΣΚΟΜΒΡΟΣ. *Ἀριστοφάνης Γηρυτάδῃ.*
Athenæus p. 321. A.

XXIX. *ὦ δύσθεον μίσημα.*
Electræ verba sunt apud Sophoclem v. 289. ad quæ Scholiastes: *καὶ ταῦτα Ἀριστοφάνης παρῴδηκεν ἐν Γηρυτάδῃ.*

---

## ΓΛΑΥΚΟΣ.

*Καλύψας καλύμματος τριβωνίῳ διεπαρθένευσα.*
Pollux iii. 43. ubi recte docti Viri emendant *καλύμματι τριβωνίου.* Sed in Comici versibus probabile est sic ordinata fuisse verba:

*τριβωνίου καλύμματι*
*διεπαρθένευσα.*

---

## ΔΑΙΔΑΛΟΣ.

I. *Ὁ μηχανοποιὸς, ὁπότε βούλει τὸν τροχὸν*
*ἐᾶν ἀνεκὰς, λέγε· Χαῖρε, φέγγος ἡλίου.*
Erotianus in *ἀνεκάς.* Trimetri sunt iambici, ut nemo non videt, quod tamen Coddæo illi, qui *Augiæ stabulum* se repurgasse gloriabatur, non suboluerat. At ille revera *Augiæ stabulum* repurgandum reliquit.

II. ΠΟΛΥΠΟΥΣ.—*τὴν δὲ αἰτιατικὴν πολύπουν φασὶν, ὡς καὶ Ἀλκίνουν, καὶ Οἰδίπουν—τὸ δὲ πόλυπον λέγειν, Αἰολικόν. Ἀττικοὶ δὲ πολύπουν λέγουσιν. Ἀριστοφάνης Δαιδάλῳ.*

*Ταῦτ' ἔχοντα, πουλύπουν, καὶ σηπίας.*

*καὶ πάλιν,*

*τὸν πουλύπουν*
*μοι θῆκε.*

*πάλιν·*

*Πληγαὶ λέγονται πουλύπου πιλουμένου.*

Athen. p. 316. A. Probare vult Dipnosophista Atticos dixisse *πολύπους* et *πολύπουν*: non *πόλυπος* et *πόλυπον.* Sed ubi metri ratio primam produci flagitaret, Comicis etiam licuit *πουλύπους* dicere, quod multis exemplis ex eodem Athenæi capite confirmatur, licet in plerisque simplicem vocalem pro diphthongo exhibeant impressi libri. Alcæi versum e *Sororibus vitiatis* emen-

davit Toupius ad Suidam v. 4. Ameipsiæ versus e *Lurcone* sic legendus videtur:

Πολλῶν μὲν, ὡς ἔοικε, δεῖ μοι πουλύπων.

Diphili tetrameter trochaichus e *Mercatore* sic legendus:

Πουλύποὺς ἔχων ἁπάσας ὀλομελεῖ τὰς πλεκτάνας.

Prima χρῆσις e Nostro prolata, est pars tetrametri trochaici; posteriores duæ sunt e senariis iambicis.

III. Πάσαις γυναιξὶν ἐξ ἑνός γέ του τρόπου,
ὥσπερ παροψὶς μοιχὸς ἐσκευασμένος.

Idem p. 367. D.

IV. Θεόπομπος δ' ἐν Εἰρήνῃ ἐπὶ τῆς θηλείας ἔταξε τὸν ἀλεκτρυόνα—καὶ Ἀριστοφάνης Δαιδάλῳ·

Ὠὸν μέγιστον τέτοκεν ὡς ἀλεκτρυών.

καὶ πάλιν·

Πολλαὶ δὲ τῶν ἀλεκτρυόνων
ὑπηνέμια τίκτουσιν ὠὰ πολλάκις
βίᾳ.

Idem p. 374 C. Confer supra *Amphiarai* iii. Suidas in ὑπηνέμια eandem adhibet χρῆσιν duobus integris senariis inclusam:

Ἐνίοτε πολλαὶ τῶν ἀλεκτρυόνων βίᾳ
ὑπηνέμια τίκτουσιν ὠὰ πολλάκις.

Quam verum esse lectionem censet Jo. Toupius ad Suidam iii. 260. Sed ἐνίοτε et πολλάκις simul stare non possunt; nec mihi bene reddi videtur πολλάκις per *multa*. Aliam itaque rationem inii. In fine primi senarii desunt voces aliquot, quæ, salva sententia, omitti potuerunt: metro suadente, δὲ inserui.

V. ΚΟΓΧΤΛΙΑΣ ΛΙΘΟΣ. ἐν Ἀριστοφάνους Δαιδάλῳ.

Pollux vii. 100.

VI. ΑΡΧΙΤΕΚΤΟΝΕΙΝ. Ἀριστοφάνης ἔφη ἐν Δαιδάλῳ.

Idem vii. 117. Occurrit etiam hoc verbum, sed tropice adhibitum, in *Pace* 305.

VII. περὶ τοῦ γὰρ ὁ πόλεμος
νῦν ἐστιν ὑμῖν;—περὶ ὄνου σκιᾶς.

Suidas in ὄνου σκιά. Confer *Vespas* 191.

VIII. Εὐρύβατος, πονηρός—καὶ Ἀριστοφάνης Δαιδάλῳ, ὑποθέμενος τὸν Δία εἰς πολλὰ ἑαυτὸν μεταβάλλοντα, καὶ πλουτοῦντα, καὶ πανουργοῦντα,

Εἰ δή τις ὑμῶν εἶδεν Εὐρύβατον Δία.

Suidas in Εὐρύβατος.

IX. ΔΟΡΤΦΟΝΟΝ, τὸν δολοφονοῦντα. Ἀριστοφάνης Δαιδάλῳ.

Hesych. in voce.

X. Vide in ΣΚΗΝΑΣ ΚΑΤΑΛΑΜΒΑΝΟΤΣΑΙ. I.

---

## ΔΑΙΤΑΛΕΙΣ.

I. ΔΑΙΤΑΛΕΤΣ, ὁ εὐωχητής· ἀφ' οὗ δρᾶμα Ἀριστοφάνους ὠνόμασται Δαιταλεῖς. Auctor Etymol. M. in voce. Attico more scribendum Δαιταλῆς.

Cum auctore Etymol. M. sentit Orion Thebanus de significatione hujus nominis. En notam ex illius Etymologico, quam mecum communicavit familiaris meus eruditus LARCHERUS. Δαιταλεύς. δαὶς δαιτὸς δαιτεύς. ὡς μέλανος μελανεύς· λέοντος λεοντεύς. ὡς πλεονασμῷ τῆς αλ, δαιτεὺς δαιταλεύς. ὡς Δαιταλεῖς, δρᾶμα Ἀριστοφάνους. Ἐπειδὴ ἐν ἱερῷ Ἡρακλέους δειπνοῦντες καὶ ἀναστάντες, χοροὶ ἐγίνοντο. Sintne postrema ista verba ex ipso dramate excerpta, an ad argumentum pertineant, in medio relinquam.

II. Τὸ πρῶτον δρᾶμα γράψας ὁ ποιητὴς ἐξέθηκε τοὺς Δαιταλεῖς, ἐν ᾧ σώφρον μειράκιον εἰσάγει, καὶ ἕτερον ἄχρηστον. εὐδοκίμησε δὲ σφόδρα ἐν τούτῳ τῷ δράματι. Schol. ad *Nubes* 529.

III. Νομίζω δή σοι τὰ ὑπὸ Ἀριστοφάνους ἀρκέσειν, τὰ ἐκ τῶν ΔΕΤΑΛΕΩΝ, ὧδέ πως ἔχοντα. " Πρὸς ταῦτα σὺ λέξον Ὁμήρου γλώττας τίνι καλοῦσι κόρυμβα." προβάλλει

γὰρ ἐν ἐκείνῳ τῷ δράματι ὁ ΕΚ ΤΟΥ ΔΗΜΟΥ ΤΩΝ ΔΕΤΑΛΕΩΝ πρεσβύτης τῷ ἀκολάστῳ υἱεῖ, πρῶτον μὲν, τὰ κόρυμβα τί ποτ' ἐστὶν ἐξηγήσασθαι· μετὰ δὲ τοῦτο, "Τί καλοῦσιν ἀμενηνὰ κάρηνα." κἀκεῖνος μέντοι ἀντιπροβάλλει τὸν ἐν τοῖς Σόλωνος ἄξοσι γλωττῶν εἰς δίκας διαφέρουσας ὧδέ πως. "Ὁ μὲν οὖν σὸς, ἐμὸς δὲ οὗτος ἀδελ-"φὸς φρασάτω, τί καλοῦσιν ἰδοῦσί τι." ἐφεξῆς προβάλλει "Τί ποτε ἐστὶ τὸ εὖ "ποιεῖν;"—δηλοῖ δὲ καὶ αὐτὸς οὗτος ὁ Ἀριστοφάνης ἐν ταυτῷ δράματι διὰ τῶνδε. "Ἅλις, ὀρίλη, καὶ μύρον, καὶ ταινίαι." εἶτα ὁ πρεσβύτης ἐπισκώπτων. "Ἤδου "σωρίλη. τοῦτο παρὰ Λυσιστράτου." πάλιν δὲ αὐτοῦ τοῦ ἀκολάστου υἱέως εἰπόντος· "Ἡμῶν ἴσως σὺ καταπληγήσῃ τῷ χρόνῳ." καὶ τοῦδ' υἱοῦ ὁ πρεσβύτης ἐπισκώπτων ἐρεῖ· "Τὸ καταπληγήσῃ τοῦτο παρὰ τῶν ῥητόρων." εἶτ' αὖθις ἐκείνου φάντος· "Ἀποβήσεταί σοι ταῦτα ποῖ τὰ ῥήματα;" πάλιν ὁ πρεσβύτης καὶ τοῦτο σκώπτει· "Παρ' Ἀλκιβιάδου τοῦτο ἀποβήσεται." καὶ μέν γε καὶ ὁ υἱὸς οὐδέπω παυόμενος οὐδὲ αἰδούμενος τὸν γέροντα, φησί· "Τί ὑποτεκμαίρῃ καὶ κακοὺς ἄνδρας λέγεις κα-"λοκἀγαθεῖν ἀσκοῦντας;" εἶτα ὁ πρεσβύτης· "Οἶμαι, ὦ Θρασύμαχε, τίς τούτων "τῶν ξυνηγόρων τερύπται."

Galenus in Prœmio libelli qui inscribitur τῶν Ἱπποκράτους γλωσσῶν ἐξήγησις. Multa in his depravata, quorum ad emendationem, quum subitaria opera et admodum festinans fragmenta hæc recolligam et disponam, pauca sunt, quæ in præsens conferre valeam. Legendum: ἀντιπροβάλλει τῶν ἐν τοῖς Σόλωνος ἄξοσι γλωττῶν εἰς δίκας διαφερούσας τινὰς ὧδέ πως.

'Ο μὲν οὖν σὸς υἱὸς, ἐμὸς δ' ἀδελφὸς οὑτοσὶ
φρασάτω, τί καλοῦσιν—

Quid pro ἰδοῦσί τι reponi debeat, in mentem non venit. Postea Aristophanis duo versus sic legendi:

Ἅλις σορίλλη καὶ μύρον, καὶ ταινίαι.

Verba sunt adolescentis, cui respondet senex:

Ἰδοὺ σορίλλη· τοῦτο παρὰ Λυσιστράτου.

Vide Hesych. in σορίλλη. In duobus sequentibus senariis scribendum καταπλαγήσῃ. Mox

Παρ' Ἀλκιβιάδου τοῦτο τἀποβήσεται.

id est τοῦτο τὸ ἀποβήσεται. Quæ sequuntur facile numeris suis restituuntur, sed eorum sententiam, quæ partim ab iis, quæ suppressa sunt, pendet, non ita proclive est assequi.

Τί δ' ὑποτεκμαίρει' ἂν σὺ, καὶ κακοὺς λέγεις
ἄνδρας καλοκἀγαθεῖν ἀσκοῦντας;
Οἴμ', ὦ Θρασύμαχε, τοῦτο τῶν ξυνηγόρων
τίς γηρύεται;

Ceterum mendosa est apud Galenum scriptura Δεταλέων: et si genuina sunt ista, ὁ ἐκ τοῦ δήμου τῶν Δαιταλέων, aliter accipi debent, quam a Casaubono ad Athen. iii. 32. intellecta fuere. Nullus enim adhucdum innotuit Atticæ Pagus, cui nomen Δαιταλεῖς. Aliunde noti sunt Δαιδαλίδαι, a quibus fabulæ titulum inscriptum fuisse conjecit Nunnesius ad Phrynichum in ἀκιστής. Sed conjectura illa jamdudum explosa fuit. Δαιταλεῖς sunt convivæ, epulones, quorum unus, *homo plebeius*, ἀνὴρ ἐκ τοῦ δήμου, cum duobus suis filiis, moribus et indole diversis, colloquebatur.

"Πρὸς ταῦτα σὺ λέξον Ὁμήρου γλώττη τίνα καλοῦσι κόρυμβα." Eundem Comici locum innuit Pollux ii. 109. sed immutata verba proferens. ἀλλὰ τὰς ποιητικὰς φωνὰς, γλώττας ἐκάλουν, ὡς Ἀριστοφάνης· Πρὸς ταῦτα λέξον Ὁμήρου γλώττα τί καλεῖται κόρυμβος. Saniora hæc sunt quidem, non ita tamen, ut ad numeros revocari queant.

IV. Οὐκ αἰσχυνοῦμαι τὸν τάριχον τουτονὶ
πλύνων ἅπασιν ὅσα σύνοιδ' αὐτῷ κακά.

Athen. p. 119. C.

V. ΧΟΝΔΡΟΝ δὲ εἴρηκε τὸ ῥόφημα Ἀριστοφάνης ἐν Δαιταλεῦσιν οὕτως·

Ἢ χόνδρον ἕψων, εἶτα μυῖαν ἐμβαλὼν
ἐδίδου ῥοφεῖν ἄν.

Idem p. 127. C.

VI. Vide infra in ΣΚΗΝΑΣ ΚΑΤΑΛΑΜΒΑΝΟΥΣΑΙ. I.

VII. Τοῦ ΤΡΙΓΩΝΟΥ, μουσικοῦ ὀργάνου, μνημονεύει Ἀριστοφάνης ἐν Δαιταλεῦσι.

Idem p. 183. E.

μν

VIII. Ὅστις δ' αὐτὴν αὐλοῖς καὶ λύραις κατατέτριμμαι χρώμενος, εἶτά με σκάπτειν κελεύεις;

Idem p. 184. F. Luxatum metrum male insertis voculis δ' αὐτὴν, quarum posterior sensum etiam turbat; et omissa alia quavis particula. Sic χρῆσιν constituo:

Ὅστις αὐλοῖς καὶ λύραις νῦν κατατέτριμμαι χρώμενος,
εἶτά με σκάπτειν κελεύεις;

IX. Καὶ λεῖος, ὥσπερ ἔγχελυς.

Idem p. 299. B.

X. Καὶ δελφακίων ἁπαλῶν κωλαῖ, καὶ χναυμάτια πτερόεντα.

Idem p. 368. E.

XI. Ἀπόλωλα· τίλλων τὸν λαγὼν ὀφθήσομαι.

Idem p. 400. A.

XII. Ἀλλ' οὐ γὰρ ἐμάθετε ταῦτα ἐμοῦ πίνοντος· ἀλλὰ μᾶλλον πίνειν, ἔπειτ' ᾄδειν κακῶς Συρακουσίων τράπεζαν, Συβαρίτιδάς τ' εὐωχίας, καὶ Χῖον ἐκ Λακαινᾶν κυλίκων μέθυ ἡδέως καὶ φίλως.

Idem p. 527. C. et 486. F. E chorico cantico hæc desumta sunt, sed hiulca et corrupta.

XIII. ἐγὼ δέ σοι
πέμψω πλακοῦντ' ἐς ἑσπέραν χαρίσιον.

Idem p. 646. B. Suidas in ἀνάστατοι et in χαρίσιον, ad quem locum confer Jo. Toup iii. 306. e conjectura reposui ἐγὼ δέ σοι. Vulgo legitur δὲ νῦν.

XIV. ἔγωγ' ἐγὼ δὲ χάλικιον.
τοῦτ' ἐπὶ κοττάβιον ἱστάναι καὶ μυῤῥίνας.

Idem p. 667. F.

XV. Φέρ' ἴδω, τί σοι δῶ τῶν μύρων; ψάγδαν φιλεῖς;

Idem p. 690. E.

XVI. Ἆσον δή μοι σκολιόν τι λαβὼν Ἀλκαίου κἀνακρέοντος.

Idem p. 693. l. ult. κἀνακρέοντος, Attica crasi, ut Thesmoph. 161.

XVII. Εἰς τὰς τριήρεις δεῖ μ' ἀναλοῦν ταῦτα, καὶ τὰ τείχη.

Suidas in ἀναλίσκειν.

XVIII. Τὸν Ἐρεχθέα μοι, καὶ τὸν Αἰγέα κάλει.

Idem in Αἰγέα.

XIX. ΡΑΓΔΑΙΟΣ, σφοδρὸς, βίαιος. Ἐν Δαιταλεῦσιν Ἀριστοφάνους.

Idem in ῥαγδαίους.

XX. Ἔσειον, ᾔτουν χρήματ', ἠπείλουν, πάλιν
ἐσυκοφάντουν.

Idem in σεῖσαι, τὸ συκοφαντῆσαι. Eodem significatu occurrit hoc verbum *Pace* 639.

XXI. Οὐδ' ἔστιν αὕτη στλεγγὶς οὐδὲ λήκυθος.

Schol. ad *Equites* 577. et Suidas in στλεγγίς.

XXII. Ταχὺ νῦν πῖνον, καὶ μὴ τρεσίαν οἶνον φέρε.

Suidas in τρεσίας οἶνος, emendatus e Photii Lexico inedito. Vide Jo. Toup ad Suidam iii. 228. ubi legendum existimat τάχωνον, πῖνον. Sed non adtendit Vir longe eruditissimus huic lectioni obstare mediæ in τάχωνον syllabæ modulum. In Suidæ editione principe excusum ταχύ νυν.

XXIII. Λυροποιὸς, λυροποιία—Ἀριστοφάνης δ' ἐν Δαιταλεῦσι καὶ ΛΥΡΩΝΙΑΝ που λέγει. Pollux vii. 153.

XXIV. Ἐψυχρολουτρήσαμεν. Idem vii. 168.

XXV. Εἰ μὴ δικῶν τι γύργαθος, ψηφισμάτων τι θωμός.

Idem vii. 176. et x. 158. Θωμὸν e Comici Babyloniis enotavit Mœris in voce, p. 190.

XXVI. Οὐδ' ἀργύριόν ἐστι κεκερματισμένον.

Idem ix. 88.

XXVII. ΚΑΙΝΑΡΙΟΝ. Ἐν Δαιταλεῦσι. Idem x. 32.

XXVIII. Οὐκ ἀλλὰ ταυτά γ' ἐπέχυσεις τοῦ χαλκίου.

Idem x. 92. et 109.

XXIX. τῆς μυρηρᾶς ληκύθου
πρὶν κατιλάσαι τὴν σπαθίδα, γεύσασθαι μύρου.

Pollux x. 120. et 119. *ἄγγη μυρηρά*. Ad quem locum vide Hemsterhusii notam. Confer eundem Poll. vii. 177.

XXX. ΘΥΛΑΚΙΣΚΟΝ. ἐν Δαιταλεῦσιν Ἀριστοφάνης.
Idem x. 172.

XXXI. Ἐν ἀλιπίδῃ. Ἀριστοφάνης Δαιταλεῦσιν.
Harpocr. in *ἀλίπεδον*.

XXXII. Ἢν μὴ μεταλάβῃ τοὐπίσιμπτον, κλαέτω.
Idem in *ἐπίσιμπτον*.

XXXIII. Αἱ τῶν δικαστηρίων θύραι ΚΙΓΚΛΙΔΕΣ ἐκαλοῦντο. Ἀριστοφάνης Δαιταλεῦσιν·
Ὁ δ᾽ Ἡλιαστὴς εἷρπε πρὸς τὴν κιγκλίδα.
Idem in *κιγκλίς*. Occurrit hoc nomen *Vesp.* 124. 773. *Equit.* 641.

XXXIV. βάψας τὴν κώπην εὐθὺς ἔπλευσα
πρὸς Ναυτοδίκας οἳ τῆς ξενίας ἐδίκαζον.
Idem in *Ναυτοδίκαι*, emendatus e Suida in *βάψας*.

XXXV. Ἐστι μὲν ΗΠΗΣΑΣΘΑΙ ἅπαξ παρ᾽ Ἀριστοφάνει ἐν Δαιταλεῦσι, παίζοντι τὰς Ἡσιόδου ὑποθήκας.
καὶ κόσκινον ἠπήσασθαι.
Phrynichus in *ἀκεστής*. Thomas Mag. in eadem voce.

XXXVI. Ὦ πρόνοια καὶ ἀναιδεία. Ἀριστοφάνης Δαιταλεῦσιν.
Eustathius ad Odyss. H. p. 1579. l. 30.

XXXVII. Τί δαί; κονίδιον σὺ λιπρὸν ἐπρίω τῇ θεῷ
εἰς τὰς τριόδους;
Schol. Theocriti ii. 12. emendatus partim a Jo. Toup. *σὺ* omnino inseri debuit, quia in *λιπρὸν* prior syllaba corripitur, ut et prima in *ἐπρίω*.

---

## ΔΑΝΑΙΔΕΣ.

I. Ὁ χορὸς δ᾽ ὠρχεῖτ᾽ ἂν ἐναψάμενος δάπιδας καὶ στρωματόδεσμα,
διαμασχαλίσας αὑτὸν σχελίσιν, καὶ φύσκαις, καὶ ῥαφανῖσι.
Athen. p. 57. A.

II. Αἰγύπτιοι δὲ τὸν ὑποξίζοντα ἄρτον ΚΥΛΛΑΣΤΙΝ καλοῦσι. μνημονεύει δ᾽ αὐτοῦ Ἀριστοφάνης ἐν Δαναΐσι·
Καὶ τὸν κύλλαστιν φθέγγου καὶ τὸν πιτύσιριν.
Idem p. 114. C.

III. Καὶ ταῦτ᾽ ἔχοντα σηπίας καὶ πουλύπους.
Idem p. 323. C. Male vulgo *πολύπους*. Vide supra in ΔΑΙΔΑΛΟΣ. ii.

IV. τρεπόμενον εἰς τοὖψον λαβεῖν
ὀσμύλια, καὶ μαινίδια, καὶ σηπίδια.
Pollux ii. 76. ubi Aristophanes nude citatur, sine Dramatis nomine, quod ex Athenæo p. 324. B. notum. *ὀσμύλια* est neutrum plurale, et diminutivum formatum ab *ὀσμύλη*. Vide Hesychii interpretes ad hanc vocem. Male apud Pollucem editum *ὀσμυλίδια*, quam formam metri lex non admittit.

V. λύσας ἴσως ἂν τὸν λαγὼν
ὑμῶν ξυναρπάσειεν.
Athen. p. 400. A. In Reg. Cod. scriptum *ξυναρπάσειεν ὑμῶν*. Quare voces illas transposuerim statim videt qui metri non prorsus est imperitus.

VI. Ἤδη παροινεῖς εἰς ἐμὲ πρὶν δεδειπνάναι.
Idem p. 422. F. Male vulgo et contra linguæ indolem *εἰς* omissum. Præpositionem, sine qua versus stare non potest, absorbuit præcedens syllaba.

VII. Ἀριστοφάνης δ᾽ ἐν Δαναΐσι καὶ ποιητὴν φησὶν αὐτὸν εἶναι ἐν τούτοις·
Μεθ᾽ ἅρμα εἶναι ἐγχειριδοπώλην.
Idem p. 645. E. quæ prorsus corrupta sunt. Eo respexit Pollux vii. 199.

VIII. οὐδεὶς βεβαλάνωκε τὴν θύραν.
Pollux x. 26. Finis est tetrametri trochaici.

IX. Τῶν χειρῶν ἔργα μισοῦς ἐστίν.
Idem x. 39.

X. Προσωπὶς, καὶ, ὡς ἐν Δαναΐσιν Ἀριστοφάνης, ΠΡΟΣΩΠΙΔΙΟΝ.
Pollux x. 127.

XI. Κακῶν τοσούτων ξυνελέγη μοι σώρακος.
Idem x. 130.

XII. Μαρτύρομαι δὲ Ζηνὸς Ἑρκείου χύτρας,
παρ' αἷς ὁ βωμὸς οὗτος ἱδρύθη ποτέ.

Schol. ad *Plutum* 1199. et ad *Pacem* 922. et ex eo Suidas, apud quem in χύτραις ἱδρυτέον legitur posteriori versu μεθ' ὧν ὁ βωμός.

XIII. Κλειταγόρα, ποιήτρια Λακωνική, ἧς μέμνηται Ἀριστοφάνης ἐν Δαναΐσι.
Idem ad *Lysistr.* 1239. et ex eo Suidas.

XIV. ΑΡΓΥΡΙΟΝ δὲ τὸ λεπτὸν νόμισμα καλοῦσιν, ὡς Ἀριστοφάνης Δαναΐσι.
Suidas in ἀργύριος σταυρός.

XV. Ἀταλαιπώρως, ῥᾳθύμως, ὀλιγώρως. Ἀριστοφάνης Δαναΐσιν·
Οὕτως αὐτοῖς ἀταλαιπώρως ἡ ποίησις διέκειτο.

Suidas et Etymol. M. in ἀταλαίπωρον.

XVI. Πρὸς τὸν στροφέα τῆς αὐλείας ἐχίνου κεφαλὴν κατορύττειν.
Suidas in αὔλειος.

XVII. Λυγκεὺς, ὡς Ἀριστοφάνης ἐν Δαναΐσι φησὶν, υἱὸς Αἰγύπτου.
Schol. ad *Plutum* 210. et ex eo Suidas in Λυγκέως ὀξυωπέστερον βλέπεις. Sed ὁμωνύμους heroas confuderunt Grammatici, cujus erroris suspicio in Comicum cadere nequit.

XVIII. Ἀλλ' εἴσιθ', ὡς τὸ πρᾶγμα λέξαι βούλομαι
τουτί· προσόζειν γὰρ κακοῦ τοῦ μοι δοκεῖ.

Suidas in τοῦ.

---

## ΔΗΛΙΑ.

Ἐπεὶ δὲ καὶ ὄρνεις ἐπῆσαν ταῖς κολοκύνταις καὶ ἄλλοις κνιστοῖς λαχάνοις· οὕτω δ' εἴρηκεν Ἀριστοφάνης ἐν Δηλίᾳ τὰ σύγκοπτα λάχανα·
Κνιστὰ, ἢ στέμφυλα.

Athen. p. 373. A.

---

## ΔΙΣ ΝΑΥΑΓΟΣ.

Καλεῖται δὲ τὸ κλινίδιον, καὶ ΚΛΙΝΤΗΡΙΟΝ, ὡς ἐν Δὶς ναυαγῷ Ἀριστοφάνης.
ὦ πονηρὲ σὺ,
τί μ' ἐξορίζεις, ὥσπερεὶ κλιντήριον;

Pollux x. 33. emendatus a Jo. Toupio in Præfatione Curarum novissimarum in Suidam.

---

## ΔΡΑΜΑΤΑ.

I. Ἀριστοφάνης Δράμασιν ἢ Νιόβῳ·
Οὐδὲν, μὰ Δί', ἐρῶ λοπάδος ἑψητῶν.

Athen. p. 301. B.

II. ΠΕΤΑΧΝΟΝ, ποτήριον ἐκπέταλον. Ἀριστοφάνης ἐν Δράμασι·
πάντες δ' ἔνδον πεταχνοῦνται.

Idem p. 496. A. Posterius est comma tetrametri anapæstici. Confer Hesych. in πέταχνον, et in proxime antecedenti glossa.

III. Τὴν δ' ΑΠΟΚΙΝΟΝ καλουμένην ὄρχησιν, ἧς μνημονεύει Ἀριστοφάνης ἐν Κενταύρῳ—
Idem p. 629. C.

IV. Τῶν δὲ περὶ ἀρτοποιΐαν ἀθρόα ἐν Ἀριστοφάνους Δράμασιν ἢ Κενταύρῳ· πτίσσω, βράττω, μάττω, δεύω, πέττω, καταλῶ.

Pollux vii. 24. Locum proposui, ut scribendum eum esse censeo.

V. Ἀριστοφάνης γοῦν ἐν μὲν Δράμασιν ἢ Κενταύρῳ·
Ἐν κωμήτισι καπήλοις σ' ἐπίχαρτον.

Idem ix. 36.

VI. Καὶ ὁ Ἀριστοφάνης ἐν Δράμασιν ἢ Κενταύρῳ·
Λίθος δεκατάλαντος.

Idem ix. 53.

VII. Ἀριστοφάνης γοῦν ἐν Δράμασιν ἢ Κενταύρῳ εἴρηκεν·
Ἐκκρουσαμένους τοὺς πύνδακας.

Idem x. 79.

VIII. Οἱ ἀνάβασμοι τῆς κλίμακος, ΚΛΙΜΑΚΤΗΡΕΣ, ὡς ἐν Ἀριστοφάνους Δράμασιν ἢ Κενταύρῳ Idem x 171.

IX. Οὐ μέντοι οἱ κεραμεῖς τὰς πλίνθους ἔπλαττον, ΠΛΙΝΘΕΙΟΝ καλεῖ τόπον ἐν Δράμασιν ἢ Νιόβῃ Ἀριστοφάνης.

Idem x. 185.

X. Τοῖς δὲ σκεύεσιν εἰ βούλοιτό τις προσαριθμεῖν καὶ ΚΑΔΟΝ ΠΙΤΤΙΝΟΝ, ἔξεστιν, Ἀριστοφάνους ἐν Δράμασιν ἢ Κενταύρῳ εἰπόντος·
Ἀλλ' εἰς κάδον λαβὼν τιν' οὐρεῖ πίττινον.

Idem ibidem.

XI. Ἐν δὲ τοῖς Ἀριστοφάνους Δράμασιν ἢ Νιόβῃ·
ἀλλ', ὥσπερ λύχνος,
ὁμοιότατ' ἐκάθευδ', ἐπὶ τοῦ λυχνιδίου.

Idem x. 119.

Apud Pollucem scriptum ὁμοιότατα κάθευδ', quod manû levissima emendandum erat, mutato solum accentu, ὁμοιότατα καθεῦδ'—Vide not. ad Thesm. 479.

XII. ΚΑΤΤΥΣ, δερμάτιον ἐντιθέμενον τῇ σμινύῃ, ὅταν ὁ σίλιχος ἀραιὸς ᾖ. καὶ ἔστι τοὔνομα ἐν τοῖς Ἀριστοφάνους Δράμασιν ἢ Νιόβῃ. Idem x. 166.

XIII. Ἐγὼ γὰρ, εἴπερ σ' ἠδίκηκ', ἐθέλω δίκην
δοῦναι πρόδικον ἑνὶ τῶν φίλων τῶν σῶν.

Suidas in πρόδικον, emendatus a Jo. Toupio v. 118.

XIV. Μεῖον λέγουσι τοὺς ὑπὲρ τῶν υἱῶν εἰς τὰ Ἀπατούρια δὶς ὑπὸ τῶν πατέρων εἰσφερομένους, διὰ τὸ ἐπιφωνεῖν τοὺς φράτορας ἐπὶ τοῦ σταθμοῦ τοῦ ἱερείου, Μεῖον, Μεῖον. ὅτι δὲ ἵσταντο, Ἀριστοφάνης ἐν Δράμασι (male vulgo Δράματι) δεδήλωκε. τοῦτο δὲ κέκληται Κουρεῖον ἀπὸ τῶν κούρων, ὑπὲρ ὧν ἐθύετο· Μεῖον δὲ, διὰ τὴν προειρημένην αἰτίαν. καὶ ἐπιζήμιόν τι τοῖς ἧττον εἰσάγουσιν ἀπεδίδοντο, καθάπερ αὐτός φησιν Ἀριστοφάνης.
Ἀλλ' εὔχομαι 'γωγ' ἑλκύσαι σε τὸν σταθμὸν,
ἵνα μή με προσπράττωσι γραῦν οἱ φράτορες.

Schol. ad *Ranas* 810. ubi male legitur in fine prioris senarii τὸν σφυγμὸν, quod admodum ineptum est.

XV. ΒΥΡΣΑΝ, τὴν πόλιν Ἀθηνῶν Ἀριστοφάνης ἐν Δράμασι παίζων ἔφη. Hesych. in voce.

XVI. ΚΥΛΛΟΥ ΠΗΡΑ. ζητοῦσι διὰ τί τὸ πορνεῖον, Κύλλου πήραν Ἀριστοφάνης εἴρηκεν ἐν Δράμασιν ἢ Κενταύρῳ·
Τὸ δὲ πορνεῖον Κύλλου πήρα.
ἔστι γὰρ χωρίον Ἀθήνησιν ἐπικρεφὲς, καὶ κρήνη. ἀντὶ δὲ τοῦ πέραν, πήραν ἔφη. Idem in voce.

XVII. Ἀριστοφάνης ἐν Δράμασιν ἢ Κενταύρῳ·
χωρεῖ δ' ἄκλητος ἀεὶ δειπνήσων· οὐ γὰρ ἄκανθαι.

Idem in οὐ γὰρ ἄκανθαι. Tetrameter est anapæsticus, cui deficit pes primus.

---

## ΕΙΡΗΝΗ Β.

ΦΙΤΥ, ὃ δηλοῖ φυτὸν, ἢ φύτευμα, ὡς Ἀριστοφάνης Εἰρήνῃ.
Πόθεν τὸ φίτυ; τί τὸ γένος; τίς ἡ σπορά;

Eustath. ad Iliad. p. 129. l. 261. Hic versus in *Pace* quæ exstat non legitur, qua in fabula occurrit nomen *φίτυ* v. 1165.

---

## ΕΡΕΧΘΕΥΣ

Ἐν μέντοι τῷ περὶ ὀνομασίας ἡλικιῶν τοῦ Γραμματικοῦ Ἀριστοφάνους φέρεται, ὅτι ἀπίχθυες, κατά τινας, οἱ μὴ ἐσθίοντες ἰχθῦς. καὶ φέρει ἐκεῖνος χρῆσιν ἐξ Ἀριστοφάνους ταύτην·

Τουνθένδ' ἀπίχθυς βαρβάρους οἰκεῖν δοκῶ.

Eustathius ad Odysseæ M. p. 1720. l. 25.

---

## ΗΡΩΕΣ.

I. Οὐκ ἠγόρευον; οὗτος ἔστ' οὐκ Ἀργόλας,
μὰ τὸν Δί', οὐδ' Ἕλλην, ὅσον ἐμοὶ φαίνεται.

Stephanus Bys. in Ἄργος, ubi depravati leguntur hi versus, quorum cuivis facilis erat emendatio.

II. Τρέχ' εἰς τὸν οἶνον, ἀμφορέα κενὸν λαβὼν,
τὸν ἔνδοθεν, καὶ βύσμα, καὶ γευστήριον,
κἄπειτα μισθοῦ σαυτὸν ἀμφορεαφορεῖν.

Suidas in ἀμφορεαφόρους: et Pollux x. 75. vi. 99.

III. Ἀριστοφάνης δὲ, τῶν ἡρώων φησὶν εἶναι τὰ πίπτοντα, λέγων ἐν τοῖς Ἥρωσι·
Μὴ γεύεσθ' ἅττ' ἂν καταπέσῃ τῆς τραπέζας ἐντός.

Diogen. Laërt. in Pythagora viii. 34.

IV. Ἀριστοφάνης δ' ἐν Ἥρωσι ΧΕΡΝΙΒΙΟΝ εἴρηκε.

Athen. p. 409. C.

V. ΠΤΕΛΙΔΑ, τὸ ὑφ' ἡμῶν λεγόμενον σφραγιδοφυλάκιον. Ἀριστοφάνης Ἥρωσιν.

Harpocration in voce.

VI. Πῶς πίομαι;

Ἀριστοφάνης ἐν Ἥρωσι. Auctor Etymol. M. in πίνω.

VII. Ἐμπόλῳ Διοσκούρῳ.

Pollux vii. 15.

VIII. Ἀνδραποδώνης.

Idem vii. 16.

IX. Ἀρτοποιΐα.

Idem vii. 21.

X. Ὁ μισθὸς, κόμιστρον. Ἀριστοφάνης δ' ἐν τοῖς Ἥρωσι δοκεῖ τὸ κόμιστρον κατὰ τὸ νῦν ἔθος εἰρηκέναι ΦΟΡΑΝ, ὅταν εἴπῃ·
ὀβολῶν δ' ἴσως
τεττάρων καὶ τῆς φορᾶς.

Idem vii. 133.

XI. Τὸ ὕδωρ τοῦ λουτροῦ, λουτρίον, ὡς Ἀριστοφάνης ἐν Ἥρωσι·
Μήτ' ἀπόνιπτρον θύραζ' ἐκχεῖται, μηδὲ λουτρίον.

Idem vii. 167. Confer Hesychii interpretem ad λούτριον.

XII. Τὸ σκεῦος, ᾧ τοὺς πόδας ἐναπονιπτόμεθα, καλεῖται ποδανιπτήρ· τὸ δὲ ἀπ' αὐτοῦ ὕδωρ, νίπτρον, ἢ λουτρίον, ἢ ΠΟΔΑΝΙΠΤΡΟΝ, ὡς ἐν Ἥρωσιν Ἀριστοφάνης λέγει.

Pollux x. 78.

XIII. Τον γὰρ ἧλον, καὶ ΠΑΙΣΚΟΝ ἐν Ἥρωσιν Ἀριστοφάνης κέκληκε.

Idem x. 61.

XIV. Πανσιπάστη, ἣν καὶ ΚΑΡΔΟΠΕΙΟΝ ὠνόμαζον, ὡς ἐν Ἥρωσιν Ἀριστοφάνης·
Ἡ καρδοπείῳ περιπαγῇ τὸν αὐχένα.

Idem x. 112.

XV. Ἴθι δὴ, λαβὼν τὸν ῥόμβον, ἀνακωδώνισον.

Idem x. 173.

XVI. —— κἀπὸ τῆς Διϊτρεφοῦς τραπέζης.
Schol. ad Av. 799. Finis est tetrametri iambici.

---

## ΘΕΣΜΟΦΟΡΙΑΖΟΥΣΑΙ ΔΕΥΤΕΡΑΙ.

I. Ὅτι Ἀριστοφάνους τὰς δευτέρας Θεσμοφοριαζούσας Δημήτριος ὁ Τροιζήνιος Θεσμοφοριασάσας ἐπιγράφει. ἐν ταύτῃ ὁ Κωμικὸς μέμνηται Πεπαρηθίου οἴνου·

Οἶνον δὲ πίνειν οὐκ ἐάσω Πράμνιον,
οὐ Χῖον, οὐδὲ Θάσιον, οὐ Πεπαρήθιον,
οὐδ' ἄλλον, ὅστις ἐπεγερεῖ τὸν ἔμβολον.

Athenæus p. 29. A. Eo respexit Hesychius in ἔμβολον.

II. Ἰχθῦς ἐώνηταί τις, ἢ σηπίδιον,
ἢ τῶν πλατειῶν τις καρίδων, ἢ πουλύπους;
ἢ νῆστις ὀπτᾶτ', ἢ γαλεός, ἢ τευθίδες;—
μὰ τὸν Δί' οὐ δῆτ'.—οὐ βατίς;—οὐδὲ φήμ' ἐγώ.—
οὐδὲ χόριον, οὐδὲ πυός, οὐδ' ἧπαρ κάπρου,
οὐδὲ σχαδόνες, οὐδ' ἤτριαῖον δέλφακος,
οὐδ' ἐγχέλειον, οὐδὲ κάραβον μέγαν
γυναιξὶ κοπιώσαισιν ἐπικουρήσατε;

Idem p. 104. E. et 324. B. Ad versum hujus fragmenti 6. respexit auctor Etymol. M. in ἦτρον.

III. Ὅτι δὲ διαβόητον ἦν τὸ τοῦ Κράτητος ΕΛΕΦΑΝΤΙΝΟΝ ΤΑΡΙΧΟΣ, μαρτυρεῖ Ἀριστοφάνης ἐν Θεσμοφοριαζούσαις διὰ τούτων·

Ἦ μέγα τι βρῶμ' ἐστὶν ἡ τρυγῳδοποιομουσική,
ἣν Κράτης γε τάριχος ἐλεφάντινον λαμπρὸν ἐνόμισεν
ἀπόνως παραβεβλημένον, ἄλλα τε
τοιαῦθ' ἕτερα μυρί' ἐκιχλίζετο.

Idem p. 117. C. In 2. v. cod. Reg. habet ἣν Κράτητι τε τάριχος, unde novam lectionem concinnavi, ἣν Κράτης γε τάριχος: et in fine ἐνόμισεν dedi, pro vulgato ἐνόμιζεν, quod respuit metri trochaici lex. In ἐλεφάντινον penultimam producit, quam alibi corripit, Poëta.

ἐλεφάντινος, *eburneus*, sive ad animal pertinens, penultimam corripit. Vide Pl. 815. Eq. 1169. Elephantinum salsamentum Cratetem, et post eum Aristophanem appellasse credo, quod ex urbe Ægypti Elephantine adportaretur, aut cujus conficiendi ratio primum illic inventa fuisset, unde nomen ei inditum. Gentile est Ἐλεφαντῖνος penultima longa. Eadem observari potest prosodia in Cratetis χρύσει, eodem loco ab Athenæo prolata, cujus initium numeris integrum est:

σκυτίνῃ ποτ' ἐν χύτρᾳ
τάριχος Ἐλεφαντῖνον ἧψε ποντιάς—

Postrema autem verba, quæ hic aliorum exemplo tanquam Aristophanis protuli, sintne revera illius, an Athenæi, mihi non liquet.

IV. Καὶ τῶν πτισσουσῶν ᾠδή τις, ὡς Ἀριστοφάνης ἐν Θεσμοφοριαζούσαις.
Athen. p. 619. A.

V. Ὦ Ζεῦ πολυτίμηθ', οἷον ἔπνευσεν ὁ μιαρὸς
φάσκωλος εὐθὺς λυόμενός μοι τοῦ μύρου,
καὶ βακκάριδος.

Idem p. 690. D. Eo respexerunt Pollux, cujus hæc sunt verba x. 137. ἵνα δὲ ἀποτίθενται αἱ ἐσθῆτες—καὶ φάσκωλοι, ὡς ἐν Θεσμοφοριαζούσαις: et Erotianus in Βάκχαρις.

φάσκωλος. Nomen Latini retinent. Vide Gesneri Thesaurum in *Pasceolus*.

VI. Ἦν δὲ καὶ κνισμός, καὶ ΟΚΛΑΣΜΑ. οὕτω γὰρ ἐν Θεσμοφοριαζούσαις ὀνομάζεται τὸ ὄρχημα τὸ Περσικὸν καὶ σύντονον.
Pollux iv. 100. περὶ εἰδῶν ὀρχήσεως. In Thesmophoriazusis quæ exstant, saltationis Persicæ mentio fit v. 1175. sed ibi nomen ὄκλασμα non reperitur. Est igitur e posteriori fabula desumtum.

VII. Ἄντικρυς δὲ τὸ νῦν καλούμενον ὑπὸ τῶν γυναικῶν στηθόδεσμον εὕροις ἂν ὀνομαζόμενον ΑΠΟΔΕΣΜΟΝ, ἐν Θεσμοφοριαζούσαις Ἀριστοφάνους·

Τὴν πτέρυγα παραλύσασα τοῦ χιτωνίου,
καὶ τῶν ἀποδέσμων, οἷς ἐνῆν τὰ τιτθία.

Pollux vii. 66. Male vulgo legitur παραλύσασαι, reclamante metro. Nec melius in fine 2. v. ἐνῆν τιτθίδια. Articulum hic omnino requirit linguæ ratio. Confer fragm. seq. versum 14.

VIII. Πάνυ γοῦν ἐπιψόγως πάντα τὸν γυναικεῖον καταλεγόμενος κόσμον Ἀριστοφάνης ἐν Θεσμοφοριαζούσαις ὑποδείκνυσιν. παραθήσομαι δὲ αὐτὰς τοῦ Κωμικοῦ τὰς λέξεις διελεγχούσας ἀκριβῶς τὸ φορτικὸν ὑμῶν τῆς ἀπειραγαθίας.

Ξύρον, κάτοπτρον, ψαλίδα, κηρωτὴν, λίτρον,
προκόμιον, ὀχθοιβοὺς, μίτρας, ἀναδήματα,
ἄγχουσαν, ὄλεθρον τὸν βαθὺν, ψιμύθιον,
μύρον, κίσηριν, στρόφιον, ὀπισθοσφενδόνην,
κάλυμμα, φῦκος, περιδέραι', ὑπογράμματα,
τρυφοκαλάσιριν, ἐλλέβορον, κεκρύφαλον,
ζῶσμ', ἀμπέχονον, πόρπημα, παρυφὲς, ξυστίδα,
χιτῶνα, βάραθρον, ἔγκυκλον, κομμώτριον·
τὰ μέγιστα δ' οὐκ εἴρηκα τούτων.—εἶτα τί;—
ἕτερά γ', ὅσ' οὐδεὶς μνημονεύσειέ ποτ' ἄν.
διόπας, διάλιθον, πλάστρα, μαλάκιον, βότρυν,
χλιδῶνα, περόνας, ἀμφιδέας, ὅρμους, πέδας,
σφραγῖδας, ἀλύσεις, δακτυλίους, καταπλάσματα,
πομφόλυγας, ἀποδέσμους, ὀλίσβους, σάρδια,
ὑποδερίδας, ἑλικτῆρας. ἀλλ' οὐδ' ἂν λέγων
ἀνύσαιμ'—

Clemens Alex. p. 245. editionis Potteri; Pollux vii. 95. Salmasius in Plinianis Exercit. p. 808. Ad 12. hujus fragm. v. respexit Harpocr. in ἀμφιδέαι: ad 11. Hesych. in βοτρύδιον, seu, ut male apud eum legitur, βοτρυΐδια: ad 14. Mœris in πομφόλυγας.

In primo hujus fragmenti versu male scriptum νίτρον. Vide not. ad Ran. 712.

IX. Ἄμφοδον ἐχρῆν αὐτῷ τεθεῖσθαι τοὔνομα.

Idem ix. 36. Confer Etymol. M. in Ἀμφίον.

X. τὸ χαλκίον θερμαίνεται.

Idem ix. 69.

XI. Σακίον, ἐν ὥσπερ τἀργύριον ταμιεύεται.

Idem x. 152. Fallitur Jungermannus dicens non constiturum versiculum nisi scribatur uno κ σακίον. Utravis scriptura eligatur, perinde stabit versus: sed codicum lectio præferenda erat. σάκος, unico κ, occurrit *Lysistr.* 1211. *Acharn.* 822. Nec necesse est legere ἐν ᾧπερ. Præcedebat aliud adfinis significationis substantivum, ad quod, ut et ad σάκιον, refertur plurale ὥσπερ.

XII. Ὅσ' ἦν περίεργ' αὐταῖσι τῶν φορημάτων,
κόμαισι περιπέττουσιν αὐτὰς προσθέτους.

Scholiastes ad *Plutum* 159. emendatus a Jo. Toupio ad Suidam iii. 38.

XIII. ἀγαθὰ μεγάλα τῇ πόλει
ἥκειν φέροντας φασὶ τοὺς Πυλαγόρας,
καὶ τὸν Ἱερομνήμονα.

Idem ad *Nubes* 623. Eo respexit Harpocration in Πύλαι.

XIV. Διὰ τοῦτο τοὔπος, Οὐ δύναμαι σκεύη φέρειν.

καὶ

τὸν ὦμον θλίβομαι.

Idem ad *Ranas* 3.

XV. Ἅμα δ' ἠπίαλος πυρετοῦ πρόδρομος.

Idem ad *Vespas* 1033.

XVI. Οἴμοι κακοδαίμων τῆς τόθ' ἡμέρας, ὅτε
εἶπέν μ' ὁ κῆρυξ· Οὗτος ἀλφάνει.

Suidas in ἀλφάνει, εὑρίσκει.

XVII. ΛΑΚΩΝΙΖΕΙΝ, παιδικοῖς χρῆσθαι. Ἀριστοφάνης Θεσμοφοριαζούσαις Β.

Idem in λακωνίζω.

XVIII. ΛΥΚΟΣ ΕΧΑΝΕΝ. Ἀριστοφάνης Θεσμοφοριαζούσαις Β.
Suidas in voce.

XIX. Φασκώλιον, ἱματίων φορεῖον. ΦΑΣΚΩΛΟΝ δὲ πήρα τις οὕτως ἐκαλεῖτο παρ' αὐτοῖς—Ἀριστοφάνης Θεσμοφοριαζούσαις.
Harpocration in φασκώλιον. Respicit forte ad eus versus, qui supra fragm. v.

